ePublishing

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE

Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας

Τόμ. 3 (1938)

Δελτίον ΧΑΕ 4 (1934-1936), Περίοδος Γ'




# Γράμματα της εν Κωνσταντινουπόλει μονής της Θεοτόκου Ψυχοσωστρίας

*ΑΡΚΑΔΙΟΣ Ο ΒΑΤΟΠΕΔΙΝΟΣ ΓΕΡΩΝ*

doi: 10.12681/dchae.1398

**Βιβλιογραφική αναφορά:**

ΓΕΡΩΝ Α. Ο. Β. (2013). Γράμματα της εν Κωνσταντινουπόλει μονής της Θεοτόκου Ψυχοσωστρίας. *Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας*, *3*, γ´-ιγ´. https://doi.org/10.12681/dchae.1398

ΔΕΛΤΙΟΝ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

# Γράμματα της εν Κωνσταντινουπόλει μονής της Θεοτόκου Ψυχοσωστρίας

ΑΡΚΑΔΙΟΣ Ο ΒΑΤΟΠΕΔΙΝΟΣ, ΓΕΡΩΝ

Δελτίον ΧΑΕ 4 (1934-1936), Περίοδος Γ'• Σελ. γ'-ιγ'

**ΑΘΗΝΑ 1938**

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE
e-Publishing
www.deltionchae.org

# ΥΠΟΜΝΗΜΑ

Ὑπὸ

**ΓΕΡΟΝΤΟΣ ΑΡΚΑΔΙΟΥ ΤΟΥ ΒΑΤΟΠΕΔΙΝΟΥ.**

# ΓΡΑΜΜΑΤΑ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΜΟΝΗΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΤΗΣ ΨΥΧΟΣΩΣΤΡΙΑΣ

Ἐπειδὴ οἱ πατέρες τῆς Ἁγιορειτικῆς Μονῆς τοῦ Βατοπεδίου μεταβαίνοντες εἰς Κωνσταντινούπολιν δὲν εἶχον ἴδιον μέρος πρὸς διαμονὴν ὅσον χρόνον διέμενον ἐν Κωνσταντινουπόλει, παρεκάλεσαν τὸν Βασιλέα Ἰωάννην Καντακουζηνόν, ἵνα παραχωρήσῃ αὐτοῖς τὴν αὐτόθι μονὴν τῆς Θεοτόκου τῆς Ψυχοσωστρίας. Τὴν παράκλησιν ταύτην τῶν Βατοπεδινῶν ἐξεπλήρωσεν ὁ Βασιλεὺς ἐκδοὺς τὸ κατωτέρω Βασιλικὸν πρόσταγμα, δι' οὗ προσεκύρωσε τὴν προμνημονευθεῖσαν Μονὴν εἰς τὴν τοῦ Βατοπεδίου μετὰ πάντων τῶν μετοχίων καὶ πραγμάτων αὐτῆς. Συγχρόνως ἐξεδόθη καὶ πατριαρχικὸν σιγίλλιον, ἀναγνωρίζον τὴν ἕνωσιν ταύτην τῶν δύο μονῶν. Μετὰ δὲ δύο ἔτη, ἤτοι κατὰ Δεκέμβριον τοῦ 1350, ὁ Βασιλεὺς Ἰωάννης ὁ Καντακουζηνὸς διὰ τὴν αὐτὴν ὑπόθεσιν ἐξέδωκε χρυσόβουλλον, ἐν ᾧ πρὸς τοῖς ἄλλοις λέγει, ὅτι πρὸς τὸ ἀνατολικὸν μέρος τοῦ στενοῦ τοῦ Βοσπόρου ὑπῆρχεν ἑτέρα μονή, τοῦ Κεχρίου ἐπικαλουμένη, ἥτις εἶχεν ἑνωθῇ μετὰ τῆς Ψυχοσωστρίας, καὶ ὅτι καὶ αἱ δύο αὗται μοναὶ προσετέθησαν εἰς τὴν μονὴν τοῦ Βατοπεδίου. Μετὰ δὲ τὴν ἔκδοσιν τοῦ χρυσοβούλλου αὐτοῦ ἐξεδόθη ἕτερον πατριαρχικὸν σιγίλλιον ὑπὸ τοῦ αὐτοῦ Πατριάρχου Ἰσιδώρου, ἀναγνωρίζον καὶ ἐπιβεβαιοῦν τὴν ἕνωσιν ταύτην τῶν εἰρημένων μονῶν. Τὰ ἀνωτέρω γράμματα σῴζονται ἐν ἀντιγράφοις ἐπὶ χαρτίνου εἰλῃταρίου, ὑπογεγραμμένα ὑπὸ τοῦ μητροπολίτου Μελενίκου Μητροφάνους. Ὄπισθεν δ' αὐτοῦ γέγραπται τὸ δεύτερον σιγίλλιον τοῦ Πατριάρχου Ἰσιδώρου. Τὸ εἰλητάριον ἔχει διαστάσεις 1,69Χ0,28, ἐναπόκειται δὲ ἐν τῷ ἀρχείῳ τῆς καθ' ἡμᾶς ἱερᾶς μονῆς τοῦ Βατοπεδίου ὑπ' ἀριθ. Γ. 65.

Ἐν τῇ ἀρχῇ δὲ τοῦ εἰλῃταρίου γράφει ὁ Μελενίκου Μητροφάνης τὰ ἑξῆς: «Ἶσα τοῦ προστάγματος καὶ τοῦ χρυσοβούλλου τῶν γεγονότων ἐπὶ τῇ ἑνώσει τοῦ Βατοπεδίου καὶ Ψυχοσωστρίας καὶ ἐπὶ τού-

τοις δύο πατριαρχικῶν Σιγιλλίων ἐν ἔτει ζ ώ ν η =1350». Ἡ γραφὴ τοῦ είλητορίου εἶναι τοῦ ΙΔ' αἰῶνος καὶ ὁ ὑπογράφων ἀρχιερεὺς σύγχρονος καὶ φίλος τῷ βασιλεῖ Ἰωάννῃ τῷ Καντακουζηνῷ. Οὗτος ἀπέστειλέ ποτε τὸν Μελενίκου Μητροφάνην μετὰ τοῦ ἰδίου ἀνεψιοῦ Μανουὴλ Καντακουζηνοῦ πρέσβυν πρὸς τὸν Βασιλέα Ἰωάννην τὸν Παλαιολόγον. (Πρβλ. Ἱστορ. Καντακουζηνοῦ, ἔκδ. Βοννης, σελ. 239 καὶ 251).

## 1. Πρόσταγμα Βασιλικὸν Ἰωάνν. Καντακουζηνοῦ.

Ἐπεὶ οἱ Μοναχοὶ τῆς κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω διακειμένης Σεβασμίας Μονῆς τῆς Βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς Ὑπεραγίας Δεσποίνης καὶ Θεοτόκου καὶ ἐπικεκλημένης τοῦ Βατοπεδίου, ἀνέφερον καὶ παρεκάλεσαν τὴν Βασιλείαν μου, ἵνα διορίσηται αὕτη καὶ δοθῇ πρὸς τὸ μέρος αὐτῆς μία τῶν ἐν τῇ θεοφυλάκτῳ, θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει σεβασμίων Μονῶν, ὥστε εὑρίσκεσθαι ὑπ' αὐτὴν κάντεῦθεν, ὅταν ἐπιδημήσωσι μοναχοὶ τῆς αὐτῆς σεβασμίας Μονῆς τοῦ Βατοπεδίου ἐν τῇ τοιαύτῃ θεοφυλάκτῳ Κωνσταντινουπόλει, εὑρίσκουσιν ἀνάπαυσιν καὶ καταμονὴν καὶ τὴν προσήκουσαν λοιπὴν ἀσφάλειαν. Τὴν τοιαύτην αὐτῶν δέησιν εὐμενῶς προσδεξαμένη ἡ Βασιλεία μου, ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος εὑρίσκεσθαι τὴν κατὰ τὴν θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν Σεβασμίαν Μονὴν τὴν εἰς ὄνομα τιμωμένην καὶ ταύτην τῆς ὑπεραγίας Θεοτόκου καὶ Θεομήτορος τῆς Ψυχοσωστρίας ὑπὸ τὴν ρηθεῖσαν Σεβασμίαν Μονὴν τῆς Βασιλείας μου τοῦ Βατοπεδίου μεθ' ὧν κέκτηται ἐξ ἀρχῆς ἐντός τε καὶ ἐκτὸς τῆς αὐτῆς θεοφυλάκτου Κωνσταντινουπόλεως κτημάτων τε καὶ διαφόρων μετοχίων καὶ λοιπῶν πραγμάτων, ἥτις Μονὴ ἐκρατεῖτο μὲν πρότερον διὰ χρυσοβούλλου τοῦ αὐθέντου μου τοῦ Βασιλέως τοῦ πάππου τῆς Βασιλείας μου τοῦ ἀοιδίμου καὶ μακαρίτου παρὰ τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς καὶ πάσης Βουλγαρίας κυρίου Γρηγορίου ἐκείνου, διεδέξατο δὲ ταύτην ἐπιτροπικῶς παρ' ἐκείνου ὁ τιμιώτατος ἐν Ἱερομονάχοις κύριος Γαλακτίων. Ὅθεν καὶ ὀφείλει εὑρίσκεσθαι ἡ τοιαύτη Μονὴ ὑποτεταγμένη μὲν τῇ δηλωθείσῃ Σεβασμίᾳ Μονῇ τῆς Βασιλείας μου τοῦ Βατοπεδίου, ὡς ἓν δὲ σῶμα, σωζομένης δηλονότι τῆς ἐν αὐτῇ καταστάσεως πνευματικῆς καὶ πολιτείας· ἵνα δὲ τάττεται καὶ ἀποστέλλεται ἀπὸ τῆς τοῦ Βατοπεδίου Σεβασμίας Μονῆς εἰς τὴν δηλωθεῖσαν Μονὴν ἀνὴρ εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενος, ἡγουμενεύων τε τὴν Μονὴν καὶ τῆς πνευματικῆς ἐχόμενος διαγωγῆς τε καὶ καταστάσεως, μεθ' ὅσης ἂν ἔχῃ γνώσεώς τε καὶ δυνάμεως, ἐπιμελῶς δὲ φροντίζῃ κατὰ τὸν ἄμεσον τρόπον καὶ τῆς ἐπιδόσεως καὶ πρὸς τὸ κρεῖττον βελτιώσεως τῶν τῆς εἰρημένης Μονῆς κτημάτων καὶ πραγμάτων. Τούτου χάριν καὶ ἐγένετο τῇ δηλωθείσῃ Σεβασμίᾳ Μονῇ τοῦ Βατοπεδίου

καὶ τὸ παρὸν αὐτῆς πρόσταγμα εἰς βεβαίαν καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς Βασιλικῆς καὶ θείας χειρός, Μηνὶ 'Οκτωβρίῳ ἰνδικτιῶντος πρώτης.

† Τὸ παρὸν ἴσον, ἀντιβληθὲν καὶ εὑρεθὲν ἐξισάζον τῷ πρωτοτύπῳ αὐτοῦ, ὑπεγράφη.

Ὁ Μελενίκου Μητροφάνης.

## 2. Σιγίλλιον τοῦ Πατριάρχου 'Ισιδώρου.

'Επεὶ οἱ ἐν τῇ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω διακειμένῃ σεβασμίᾳ Βασιλικῇ Μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς Ὑπεραγίας Δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Βατοπεδίου ἀσκούμενοι Μοναχοὶ ἐπορίσαντο σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ Ἁγίου μου Αὐτοκράτορος, διοριζόμενον, ὥστε τὴν εἰς τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν σεβασμίαν Μονὴν τὴν ἐπ' ὀνόματι καὶ ταύτην τιμωμένην τῆς Ὑπεράγνου Δεσποίνης καὶ Θεομήτορος τῆς Ψυχοσωστρίας ὑποκεῖσθαι τῇ ῥηθείσῃ Σεβασμίᾳ τοῦ Βατοπεδίου Μονῇ καὶ εὑρίσκεσθαι ὑπ' αὐτήν, κἀντεῦθεν ἐπιδημούντων κατὰ τὴν θεοφύλακτον Κωνσταντινούπολιν τῶν τῆς τοῦ Βατοπεδίου μοναχῶν ἔχειν ἀνάπαυσιν καὶ καταμονὴν καὶ τὴν προσήκουσαν λοιπὴν ἀσφάλειαν, ὑποκεῖσθαι δὲ τὴν τῆς Ψυχοσωστρίας αὐτῇ μεθ' ὧν κέκτηται ἀρχῆθεν ἐντός τε καὶ ἐκτὸς τῆς αὐτῆς θεοφυλάκτου Κωνσταντινουπόλεως κτημάτων τε καὶ διαφόρων μετοχίων, ἀλλὰ δὴ καὶ λοιπῶν πραγμάτων. ἥτις δὴ Μονὴ ἐκρατεῖτο μὲν πρότερον διὰ σεπτοῦ χρυσοβούλλου τοῦ ἀοιδίμου καὶ μακαρίτου Βασιλέως, τοῦ πάππου δηλονότι τοῦ κρατίστου καὶ ἁγίου μου Αὐτοκράτορος, παρὰ τοῦ Μακαριωτάτου 'Αρχιεπισκόπου τῆς πρώτης 'Ιουστινιανῆς καὶ πάσης Βουλγαρίας κυρίου Γρηγορίου ἐκείνου, διεδέξατο δὲ ταύτην ἐπιτροπικῶς παρ' ἐκείνου ὁ τιμιώτατος ἐν Ἱερομονάχοις κύριος Γαλακτίων. Καὶ ἐμφανίσαντες οἱ δηλωθέντες Μοναχοὶ τὸ ἐπιχορηγηθὲν αὐτοῖς τοιοῦτον σεπτὸν πρόσταγμα πρὸς τὴν ἡμῶν Μετριότητα, ἐδεήθησαν τυχεῖν καὶ Σιγιλλιώδους αὐτῆς Γράμματος, ἡ Μετριότης ἡμῶν εὐμενῶς τῇ τούτων προσχοῦσα δεήσει, τὸ παρὸν ἐπορέγει, δι' οὗ δὴ καὶ ἐν Ἁγίῳ παρακελεύεται Πνεύματι, ὡς ἂν κατὰ τὴν περίληψιν τοῦ ῥηθέντος σεπτοῦ προστάγματος εὑρίσκηται ἡ τοιαύτη Μονὴ τῆς Ψυχοσωστρίας ὑποκειμένη καὶ ὑποτεταγμένη τῇ δηλωθείσῃ Σεβασμίᾳ Μονῇ τοῦ Βατοπεδίου, πλὴν ὡς ἓν σῶμα καὶ ἄμφω καταλογίζωνται, σωζομένης δηλονότι τῆς ἐν αὐτῇ πνευματικῆς καὶ θεοφιλοῦς ἀγωγῆς καὶ ὑποτυπώσεως, καὶ ἀποστέλληται ἐκεῖθεν εἰς Ἡγούμενον ταύτης δὴ τῆς Μονῆς ἀνὴρ εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενος καὶ δυνάμενος ψυχὰς οἰκειοῦν θεῷ καὶ φροντίζειν καὶ ἐπιμελεῖσθαι τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς καὶ ἐπιδόσεως, ἔτι τε βελτιώσεως καὶ συστάσεως τῶν προσόντων τῇ δηλωθείσῃ

Μονῇ κτημάτων τε καὶ πραγμάτων. Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν Σιγιλλιῶδες γράμμα τῆς ἡμῶν Μετριότητος τοῖς διαληφθεῖσι Μοναχοῖς τῆς τοῦ Βατοπεδίου Σεβασμίας Μονῆς ἐπιδέδοται.

† Εἶχε δὲ καὶ διὰ τιμίων γραμμάτων τῆς πατριαρχικῆς καὶ πανιέρου χειρός, μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος πρώτης.

† Τὸ παρὸν ἴσον, ἀντιβληθὲν καὶ εὑρεθὲν ἐξισάζον τῷ πρωτοτύπῳ αὐτοῦ, ὑπεγράφη.

Ὁ Μελενίκου Μητροφάνης.

### 3. Χρυσόβουλλον Ἰωάννου Καντακουζηνοῦ περὶ τῆς Ψυχοσωστρίας, ἐν ᾧ λόγος καὶ περὶ τῆς Μονῆς τοῦ Κεγχρίου.

Εἰ πολλοῖς πολλάκις τὸ καθ᾽ αὐτοὺς ἐν ἐλευθερίᾳ διάγειν εἰς συμφορὰν ἐτελεύτησε, τί θαυμαστὸν πάλιν ἄλλοις τοὐναντίον συνενεγκεῖν. Τοῖς γὰρ μὴ δυναμένοις τὸ οἰκεῖον ἀγαθὸν διασῴζειν, αὐτονομία μὲν βλαβερόν, καὶ τὸ καθ᾽ αὐτοὺς εἶναι σαφῶς ἐστι τὸ παράπαν μηδ᾽ εἶναι. Τὸ δὲ τοῖς λυσιτελεῖν αὐτοῖς δυναμένοις ὑπακούειν ἐθέλειν τά τε ὄντ᾽ αὐτοῖς φυλάττειν δυνήσεται καὶ τὰ οὐκ ὄντα προσπορεῖ. Εἰ δ᾽ ἀεὶ καλὸν ἦν ἡ ἐλευθερία καὶ τὸ περὶ τῶν ἰδίων ἑτέροις πείθεσθαι, κακοδαιμονίας τεκμήριον, οὔτ᾽ ἀρχὴ τοῦ λοιποῦ τῶν καλῶν δόξειεν εἶναι, οὔτ᾽ εἴ τις δικάζειν ἢ στρατηγεῖν ἀξιοίη, νοῦν ἂν ἔχειν νομίζοιτο. Οὕτω σφόδρα τῆς ἐλευθερίας παρὰ καιρὸν τιμωμένης, τῷ τε παντὶ τούτῳ, καὶ τὸ τοῦτον τὸν τρόπον καλεῖσθαι προσαπολεῖται, τῆς ὑποταγῆς καθ᾽ ἅπαξ ἀνῃρημένης. Εἰ δὴ ταῦτα καὶ μόνον λογίζεσθαι γέλως, πῶς οὐ γελοιότερον, εἴ τις τὸ τοῖς βελτίοσιν ὑπείκειν δυστυχίαν ἡγεῖτο, δι᾽ οὗ μόνου βεβαιοτέραν ἐστὶν αὐτῷ τὴν εὐτυχίαν κατασκευάζειν. ὥστ᾽ εἰ τῶν συμφερόντων ἀεὶ τὸν Βασιλέα δεῖ πρόνοιαν ἔχειν, οὐδὲ τοῦθ᾽ ὡς παντάπασιν ἄχρηστον τῶν τε νόμων τῆς Βασιλείας καὶ τῆς ἀρχῆς ἐκβαλεῖν, ἀλλ᾽ εὑρήσει οὗ καὶ τούτου δεῖ τοῦ φαρμάκου. Διὰ ταῦτα τοίνυν καὶ ἡ Βασιλεία μου τὴν μὲν ἐν τῇ θεοφυλάκτῳ, θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει Σεβασμίαν Μονὴν τὴν εἰς ὄνομα τιμωμένην τῆς πανυπεράγνου Δεσποίνης καὶ θεομήτορος τῆς Ψυχοσωστρίας ἰδοῦσα τῇ τε τῶν προστησομένων ἐρημίᾳ καὶ τῷ τὰ ὄντα πάντα αὐτῆς διὰ τὴν τῶν καιρῶν δυσχέρειαν ἀνηλῶσθαι εἰς στενὸν μὲν κομιδῇ κατάστασιν, κινδυνεύουσαν δὲ μηδὲ μνήμην γοῦν αὐτῆς καταλείψειν τοῖς ἐπιγινομένοις, τὴν δὲ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω σεβασμίαν μονὴν τῆς Βασιλείας μου τὴν εἰς ὄνομα τιμωμένην καὶ ταύτην τῆς πανυπεράγνου Δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένην τοῦ Βατοπεδίου τοῖς ὅλοις ἀνθοῦσαν, ἀμφοτέρων ὁμοῦ κηδομένη, τῆς μέν, ὅπως ἐν καιρῷ τοῖς χρήζουσι γένοιτο, ὅ τοῖς λογίζεσθαι δυναμένοις, οὐδενὸς ἔλαττον κέρδους, τοῖς δ᾽ ὅπως εὖ πάθοι καὶ τὴν τοῦ καιροῦ φθορὰν ὑπερβᾶσα, πάλιν ὥσπερ ἀναβιῴη, διωρίσατο μὲν πρὸ καιροῦ διὰ προστάγματος εἶναι καὶ εὑρί-

σκεσθαι ταύτην δὴ τὴν τῆς Ψυχοσωστρίας Μονὴν ὑπὸ τὴν δηλωθεῖσαν Σεβασμίαν Μονὴν τοῦ Βατοπεδίου καὶ ὡς ἓν σῶμα καὶ ἀμφοτέρας καταλογίζεσθαι, καθὼς πλατύτερον τὸ περὶ τούτου τὸ δηλωθὲν τῆς Βασιλείας μου διέξεισι πρόσταγμα, γεγονυίας ὕστερον ἐπὶ τούτῳ καὶ τιμίας Πατριαρχικῆς Γραφῆς. Ἀρτίως δὲ ἀνέφερον καὶ παρεκάλεσαν τὴν βασιλείαν μου οἱ ἐν τῇ αὐτῇ Σεβασμίᾳ Μονῇ τοῦ Βατοπεδίου ἀσκούμενοι Μοναχοὶ πορίσασθαι καὶ χρυσόβουλλον ταύτης εἰς ἐπικύρωσιν καὶ στηριγμὸν τοῦ εἰς τοὺς ἑξῆς ἅπαντας χρόνους ὑπὸ τὴν τοιαύτην Σεβασμίαν τοῦ Βατοπεδίου Μονὴν τὴν τῆς Ψυχοσωστρίας Μονὴν ἀμεταπτώτως εὑρίσκεσθαι. Ἔτι γε μὴν καὶ τοῦ προσεῖναι χάριν τῇ τοιαύτῃ Σεβασμίᾳ τῆς Ψυχοσωστρίας Μονῇ ἀναφαιρέτως καὶ ἀναποσπάστως τὰ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν προσόντα ταύτῃ Μετόχιά τε καὶ κτήματα, ἅτινα καὶ κατὰ μέρος διαλαμβάνονται ἐν τῷ ἐπιχορηγηθέντι τῷ μέρει τῆς τοιαύτης Σεβασμίας Μονῆς πρὸ χρόνων χρυσοβούλλῳ τοῦ Αὐθέντου μου τοῦ Βασιλέως τοῦ πάππου τῆς Βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου. Διαλαμβάνονται δ' ὡσαύτως καὶ ἐν τῷ γεγονότι αὐτῇ ἐκ νέου ἀπογραφικῷ Σιγιλλιώδει Γράμματι παρὰ τοῦ περιποθήτου συμπεθέρου τῆς Βασιλείας μου κυρίου Ἀρσενίου τοῦ Τζαμπλάκωνος. Προσεῖναι δ' ὡσαύτως καὶ τῇ κατὰ τὸ ἑῷον μέρος τοῦ περὶ τὸν Ἀνάπλουν Στενοῦ διακειμένῃ Μονῇ τοῦ Κεγχρίου, ἥτις ηὑρίσκετο ἡνωμένη τῇ αὐτῇ Σεβασμίᾳ τῆς Ψυχοσωστρίας Μονῇ διὰ τοῦ ῥηθέντος χρυσοβούλλου, ἅπερ ἐκέκτητο καὶ αὕτη ὑποστατικὰ καὶ Μετόχια, ἃ δὴ κατὰ μέρος ἔχουσιν οὕτως. Τῆς μὲν Μονῆς τῆς Ψυχοσωστρίας περὶ τὸν περίορον αὐτῆς οἰκήματα διάφορα ἀνεγερθέντα παρὰ τῶν ἐν αὐτῇ μοναχῶν. Ἕτερα δὲ οἰκήματα ἐχόμενα τοῦ τοιούτου περιόρου πρὸς τὸ ἀρκτῷον μέρος τὰ ἐξωνηθέντα πρὸ χρόνων ἀπὸ τῆς Καλοειδίνης παρὰ τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Βουλγαρίας κυρίου Γρηγορίου, ἔχοντος ἐν αὐτῇ κτητορικὰ δίκαια ὡς δηλοῖ τὸ ἐπὶ τούτοις γεγονὸς πρατήριον. Πλησίον τοῦ εὐαγοῦς Ξενῶνος τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος θεῖος Ναὸς εἰς ὄνομα τιμώμενος τοῦ ἐν Ἁγίοις παμμάκαρος καὶ θαυματουργοῦ Νικολάου μετὰ τοῦ προαυλίου αὐτοῦ, ἀλλὰ δὴ καὶ οἰκημάτων ἓξ ἐντὸς τῆς περιοχῆς αὐτοῦ διακεμένων. Ἐκτὸς τῆς αὐτῆς θεοφυλάκτου Κωνσταντινουπόλεως περὶ τὸ χωρίον τοῦ Προμούντου Μετόχιον τὸ τῆς Κορώνης ὀνομαζόμενον. Ἔτι δὲ καὶ περὶ τὸ κατὰ δύσιν Στενὸν εἰς τὸ χωρίον τὰς Καλὰς ἕτερον εἰς ὄνομα τιμώμενον τοῦ Ἁγίου προφήτου Ἠλιοῦ, περὶ ὧν κατωτέρω πλατύτερον ῥηθήσεται. Ἐντὸς τῆς θεοσώστου πόλεως Ἡρακλείας οἰκήματα τῆς αὐτῆς Μονῆς μετὰ τῶν δικαίων αὐτῶν, καὶ ἐκτὸς αὐτῆς ἐν τῇ τοποθεσίᾳ τοῦ Τριφυλλίου γῆ ἰδιοπεριόριστος μοδίων ἑξακοσίων μετὰ τῶν ἐν αὐτῇ προκαθημένων ἐλευθέρων, ἐν ᾗ εὑρίσκεται καὶ μυλωνοτόπιον ὁλοκαιρινόν. Ἐντὸς τοῦ κάστρου Χαριουπόλεως Μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου Ἀρχιστρατήγου τῶν ἄνω Δυνάμεων Μιχαὴλ καὶ ἐπικεκλημένον τοῦ Φύλακος, προσκυρωθὲν τῇ αὐτῇ Μονῇ

παρὰ τοῦ 'Ερριγασμένου ἐκείνου μετὰ τῶν ἐν αὐτῷ ἕξ παροίκων. Περὶ τὸ κάστρον τὸ Πάμφιλον Μονύδρια δύο, τὸ μὲν ἓν εἰς ὄνομα τιμώμενον τῆς 'Αγίας Μεγαλομάρτυρος 'Αναστασίας, τὸ δὲ ἕτερον εἰς ὄνομα τῆς 'Αγίας Παρασκευῆς μετὰ τῆς γῆς καὶ ὧν ἔχουσι δικαίων, ἔτι δὲ καὶ μετὰ τῶν ἐν αὐτοῖς προσκαθημένων ἐλευθέρων. Περὶ τὸ Πηλοπύθιον πλησίον τοῦ ποταμοῦ τοῦ καλουμένου 'Αέρος, Μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ 'Αγίου παμμάκαρος καὶ θαυματουργοῦ Νικολάου καὶ ἐπικεκλημένον τοῦ Τορνάρη μετὰ τῶν δικαίων αὐτοῦ. Τὰ δὲ τῆς δηλωθείσης τοῦ Κεγχρίου Μονῆς μονύδριον τὸ καλούμενον τοῦ Νήφωνος καὶ ἕτερον εἰς ὄνομα τιμώμενον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος Χριστοῦ καὶ ἐπικεκλημένον τοῦ Κουτουλῆ μετὰ τῶν δικαίων αὐτῶν. Μύλωνες τρεῖς, ὧν οἱ δύο ὁλοκαιρινοί, ὁ δὲ λοιπὸς χειμερινός, καλούμενος Διμυλίας. 'Ετέρου Μύλωνος ὁλοκαιρινοῦ τοῦ καλουμένου Κλοκοτενίτζη μερὶς ἡμίσεια, πρὸς τούτοις ἀμπέλια τε καὶ γῆ ἐν διαφόροις τοποθεσίαις, δικαιώμασί τε καὶ πρακτικοῖς καταγεγραμμένα, ἡ μὲν ὕπεργος, ἡ δὲ ἐρειπία. 'Επεὶ γοῦν παρεκάλεσαν, ὡς εἴρηται, ἐπιχορηγηθῆναι αὐτοῖς τούτων χάριν χρυσόβουλλον τῆς Βασιλείας μου, τῆς αὐτῶν δεήσεως εὐμενῶς αὕτη ἐπακούσασα τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται εἶναι μὲν καὶ εὑρίσκεσθαι καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους τὴν ρηθεῖσαν τῆς Ψυχοσωστρίας Μονὴν ὑπὸ τὴν δηλωθεῖσαν Σεβασμίαν Μονὴν τῆς Βασιλείας μου, τὴν τοῦ Βατοπεδίου δηλαδή, καὶ ὡς ἓν σῶμα καὶ ἀμφοτέρας καταλογίζεσθαι. καὶ φέρειν μὲν τὴν τοῦ Βατοπεδίου Μονὴν τὰ πρεσβεῖα καὶ τὴν τιμὴν τῆς ἀρχῆς κεκληρῶσθαι διά τε τὸ τῆς Μονῆς μεγαλεῖον καὶ τὸ τῶν ἐν αὐτῇ μοναζόντων αἰδέσιμον, ἀρετῆς ὅ,τι πλείστης, ἀντιποιουμένων καὶ θεῷ προσοικειουμένων διὰ βίου καὶ πολιτείας θεοφιλοῦς. Τὴν δὲ τῆς Ψυχοσωστρίας Μονὴν ὑποτετάχθαι καὶ τὰ δεύτερα φέρειν, ὑπ' ἐκείνης γὰρ πρὸς αὐτὴν εἰς καθοδηγούμενον ἀποστέλλεσθαι χρή, ἄνδρα εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενον καὶ δυνάμενον ψυχὰς οἰκειοῦν θεῷ καὶ φροντίζειν καὶ ἐπιμελεῖσθαι εἰς τὸ περισῴζεσθαι μὲν κἂν ταύτῃ τὴν προσήκουσαν πνευματικὴν διαγωγὴν καὶ κατάστασιν, συνίστασθαι δὲ καὶ τὰ κατ' αὐτὴν ἅπαντα, Μετόχιά τε δηλαδή, κτήματα, ὑποστατικὰ καὶ λοιπὰ πάντα πράγματα παντάπασιν ἀμείωτα καὶ ἀκαινοτόμητα· μᾶλλον μὲν οὖν καὶ πρὸς ἐπίδοσιν ἄγεσθαι ταῦτα καὶ αὔξησιν διὰ τῆς αὐτοῦ ἐπιμελεστέρας φροντίδος, καθὼς ἂν αὐτῷ προχωρεῖ τὰ τῆς δυνάμεως· προσεῖναι δὲ τῇ τε τῆς Ψυχοσωστρίας Μονῇ, ἀλλὰ δὴ καὶ τῇ τοῦ Κεγχρίου καὶ τὰ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν προσόντα ταύταις Μετόχιά τε καὶ κτήματα καὶ λοιπὰ ὑποστατικά, καθὼς ἀνωτέρω κατὰ μέρος κατεγράφησαν, καὶ κατέχεσθαι ὑπ' αὐτῶν ἀνενοχλήτως, ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, ἀτελῶς τε πάντῃ καὶ ἀβαρῶς κατὰ τὰς περιλήψεις δηλαδὴ τοῦ εἰρημένου χρυσοβούλλου, ἀπογραφικῶν τε διαφόρων ἀποκαταστάσεων καὶ λοιπῶν δικαιωμάτων τῶν προσόντων αὐταῖς, καθὼς εὑρίσκον-

ται κατεχόμενα ὑπ' αὐτῶν καὶ μέχρι τοῦ νῦν. Πρὸς τούτοις μέντοι ἡ Βασιλεία μου ἐπιδαψιλεύουσα δωρεῖται ταύτῃ καὶ τόδε. Ἐπεὶ γὰρ εἰς τὸ δηλωθὲν Μετόχιον τὸ τῆς Κορώνης ὀνομαζόμενον τὰ μὲν προσόντα τῷ μέρει αὐτῆς τοιαῦτα δικαιώματα διαλαμβάνουσιν εὑρίσκεσθαι γῆν μοδίων ἑξακοσίων καὶ οὐ πλείονα· ἣν δὲ τὸ μέρος αὐτῆς ἐξ ἀρχῆς νεμόμενον διὰ περιόρου, πλησίον ταύτης καὶ ἑτέραν γῆν ὡσεὶ μοδίων τετρακοσίων, καθὼς διὰ τῆς ἀρτίως γενομένης ἀπογραφικῆς ἀναθεωρήσεως εὕρηται, τοῦ δηλωθέντος ἀπογραφικοῦ Σιγιλλιώδους Γράμματος τοῦ περιποθήτου συμπεθέρου τῆς Βασιλείας μου τοῦ Τζαμπλάκωνος τὸ περὶ τούτου δεξιόντος πλατύτερον· ὡσαύτως δὲ καὶ εἰς τὸ διαληφθὲν Μετόχιον αὐτῆς τὸ τοῦ Ἁγίου Ἡλιοῦ εἶχε τεταγμένον διὰ τῶν εἰρημένων ἀπογραφικῶν διαφόρων ἀποκαταστάσεων τελεῖν κατ' ἔτος πρὸς τὸν ἀπὸ τῶν θεληματαρίων στρατιωτῶν τὸν Κατακαλὼν χρυσᾶ ὑπέρπυρα ὀκτὼ ὡς ἐν τῷ δηλωθέντι χρυσοβούλλῳ καὶ τὸ περὶ τούτου διαλαμβάνεται· δωρεῖται μὲν ἡ Βασιλεία μου ταύτῃ τήν τε ρηθεῖσαν γῆν τῶν τετρακοσίων μοδίων τὴν ὡς περίσσειαν ἀναφερομένην ἐπέκεινα τῆς ρηθείσης τῶν ἑξακοσίων μοδίων τῆς ἐν τῇ τοποθεσίᾳ τῆς Κορώνης, ὡς εἴρηται, καὶ διορίζεται κατέχεσθαι ὑπ' αὐτῆς πᾶσαν ὅλην ταύτην τὴν γῆν, τήν τε δηλονότι τῶν ἑξακοσίων μοδίων καὶ τὴν τῶν τετρακοσίων εἰς τὸν περιορισμὸν καὶ τὰ δίκαια ὡς ὑπ' αὐτῆς κατείχετο ἐξ ἀρχῆς μή τινος ὀχλήσεως ἢ διασεισμοῦ τῷ μέρει ταύτης χάριν τούτου παρά τινος τῶν ἁπάντων ἐπαγομένων. Ἐκκόπτει δὲ καὶ τὸ δηλωθὲν τέλος τῶν ὀκτὼ χρυσῶν ὑπερπύρων τῶν ἐπικειμένων τῷ εἰρημένῳ Μετοχίῳ τῷ τοῦ Ἁγίου Ἡλιοῦ, ὡς δεδήλωται, καὶ διορίζεται τοῦ λοιποῦ ἐλευθερίας ἀπολαύειν καὶ ἀτελείας αὐτὸ καὶ μηδεμίαν τούτου χάριν ὑποστῆναι διενόχλησιν ἢ παρὰ τοῦ διαληφθέντος θεληματαρίου τοῦ Κατακαλὼν ἢ παρ' ἑτέρου τινός. Ὅθεν καὶ τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς Βασιλείας μου διαμενεῖ μὲν ἀμεταπτώτως εἰς τοὺς ἑξῆς ἅπαντας χρόνους ἡ δηλωθεῖσα Σεβασμία Μονὴ τῆς Ψυχοσωστρίας ὑπὸ τὴν ρηθεῖσαν Σεβασμίαν Μονὴν τῆς Βασιλείας μου τὴν τοῦ Βατοπεδίου ὀνομαζομένην, ὡς εἴρηται, καὶ πάντα τὰ προσόντα ταύτῃ τε καὶ τῇ τοῦ Κεγχρίου Μονῇ, μετόχιά τε καὶ κτήματα καὶ λοιπὰ ὑποστατικὰ ὑπὸ τοῦ κατὰ καιροὺς εἰς Ἡγούμενον αὐτῆς παρὰ τῶν ἀσκουμένων ἐν τῇ τοῦ Βατοπεδίου Μονῇ Μοναχῶν ἀποστελλομένου τῆς προσηκούσης ἐπιμελείας καὶ φροντίδος ἀξιωθήσονται καὶ εἰς τὸ κρεῖττον καὶ βέλτιον, ὅση δύναμις, προαχθήσονται, πολλῷ πλέον πρὸς τούτοις ποιουμένου φροντίδα καὶ τοῦ περισώζεσθαι ἐν αὐτῇ δὴ τῇ τῆς Ψυχοσωστρίας Μονῇ τὰ τῆς πνευματικῆς διαγωγῆς καὶ θεοφιλοῦς πολιτείας κατὰ τὴν προσήκουσαν Μοναχοῖς τάξιν τε καὶ κατάστασιν. Διατηρηθήσονται δὲ ταῦτα δὴ τὰ Μετόχιά τε καὶ κτήματα καὶ λοιπὰ ὑποστατικὰ ἀνενόχλητα καὶ ἀδιάσειστα, ἔτι τε τἀνώτερα τέλους παντὸς καὶ βάρους καὶ παντοίας ἐπηρείας καὶ ἐπιθέσεως, καὶ ὑπ' αὐτῆς ταῦτα κατασχεθήσονται ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀνα-

ποσπάστως κατά τε τὰς περιλήψεις τῶν προσόντων ταύτῃ παλαιγενῶν δικαιωμάτων καὶ ὡς εὑρίσκονται κατεχόμενα ὑπ᾽ αὐτῆς ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν. Κατασχεθήσεται δ᾽ ὁμοίως ὑπ᾽ αὐτῆς καὶ ἡ τῶν τετρακοσίων μοδίων γῆ ἡ ὡς περίσσεια, καθ᾽ ἅπερ εἴρηται, ἀναφανεῖσα ἐπέκεινα τῆς τῶν ἑξακοσίων μοδίων γῆς, ἥντινα κατεῖχε διὰ δικαιωμάτων εἰς τὰς τοποθεσίας τῆς Κορώνης καὶ μετὰ τῆς τοιαύτης τῶν ἑξακοσίων μοδίων γῆς νεμηθήσεται ὑπ᾽ αὐτῆς εἰς τὸν περιορισμὸν καὶ τὰ δίκαια· ὡς ηὑρίσκετο τὸ μέρος αὐτῆς κατέχον μέχρι τοῦ νῦν. Ἔτι γε μὴν διατηρηθήσεται καὶ ἡ τῶν ὀκτὼ χρυσῶν ὑπερπύρων ἀτέλεια τῶν παρ᾽ αὐτῆς τελουμένων μὲν κατ᾽ ἔτος ἐπὶ τῷ Μετοχίῳ αὐτῆς, τῷ τοῦ Ἁγίου Ἠλιοῦ δηλαδή, ἐκκοπέντων δὲ ἀρτίως διὰ τοῦ παρόντος χρυσοβούλλου τῆς Βασιλείας μου καὶ οὐδεμίαν χάριν ἐπάξει τις τῶν ἁπάντων τῷ μέρει αὐτῆς διενόχλησίν τινα ἢ διασεισμόν. Ἐπειδὴ δὲ ἀνέφερον, ὡς τὸ μέρος τῆς Μονῆς τῆς Ψυχοσωστρίας ἐκέκτητο πρὸ χρόνων καράβιον χωρήσεως μοδίων πολιτικῶν ἑκατὸν καὶ διετηρεῖτο διὰ τῆς ἰσχύος τοῦ εἰρημένου χρυσοβούλλου, ἀνώτερον μὲν ἀπὸ πάσης δόσεως κομμερκίου ἐφ᾽ οἷς διὰ τὴν ἑαυτῶν ζωάρκειαν οἱ ἐν αὐτῇ Μοναχοὶ ἐξωνοῦντο ἢ διεκόμιζον, ἐπὶ δὲ τοῖς διαπωλουμένοις παρ᾽ αὐτῶν ἐδίδου τὸ ἀνῆκον τῷ δημοσίῳ κομμέρκιον· ἦν δὲ τεταγμένον διδόναι πάντας ὑπὲρ τοῦ τοιούτου κομμερκίου εἰς τὴν τῶν ἑκατὸν χρυσῶν ὑπερπύρων ποσότητα ἄχρι καὶ τῶν δέκα χρυσῶν ὑπερπύρων. Ἔταξε δὲ καὶ διωρίσατο ἡ Βασιλεία μου πρὸ ὀλίγου διὰ χρυσοβούλλου διδόναι κοινῇ πάντας εἰς τὸ τοιοῦτο κομμέρκιον εἰς τὴν τῶν ἑκατὸν χρυσῶν ὑπερπύρων, ποσότητα χρυσῶν ὑπερπύρων δύο καὶ μέλλει ἐντεῦθεν διατηρεῖσθαι καὶ ὅπερ μέλλουσι καὶ αὖθις οὗτοι κτήσασθαι καράβιον ἕτερον χωρήσεως μοδίων πολιτικῶν τριακοσίων εἰς τὴν τοιαύτην εὐεργεσίαν, προσεπιδαψιλεύουσα καὶ ἔτι ἡ Βασιλεία μου διορίζεται διατηρεῖσθαι τὸ τοιοῦτον αὐτῶν καράβιον ἀνώτερον καὶ ἀπὸ τῆς δόσεως τῆς τετραμοιρίας. Εἰς γὰρ τὴν περὶ τούτου μόνιμον καὶ βεβαίαν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς Βασιλείας μου καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τοῖς τε ῥηθεῖσι Μοναχοῖς τοῖς ἐν τῇ σεβασμίᾳ Μονῇ τῆς Βασιλείας μου τῇ τοῦ Βατοπεδίου ἀσκουμένοις, ἔτι τε καὶ τῷ μέρει τῆς τῆς Ψυχοσωστρίας Μονῆς, ἀπολυθεὶς κατὰ μῆνα Δεκέμβριον τῆς ἐνισταμένης τρίτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ὀγδόου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Εἶχε καὶ δι᾽ ἐρυθρῶν γραμμάτων τῆς Βασιλικῆς καὶ θείας χειρός.

† Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ Αὐτοκράτωρ Ρωμαίων ὁ Καντακουζηνός.

† Εἶχε καὶ χρυσῆν βούλλαν ἀπῃωρημένην δι᾽ ὀξείας μετάξης, ἐν μὲν τῷ ἑνὶ μέρει εἰκονίζουσαν τὸν δεσποτικὸν χαρακτῆρα τοῦ Σωτῆρος Χριστοῦ, ἐν δὲ τῷ ἑτέρῳ τὴν Βασιλικὴν στήλην.

Τὸ παρὸν ἴσον, ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἰσάζον τῷ πρωτοτύπῳ αὐτοῦ, ὑπεγράφη.

Ὁ Μελενίκου καὶ ὑπέρτιμος
Μητροφάνης.

**4. Σιγίλλιον Ἰσιδώρου ἐλέῳ Θεοῦ Πατρ. Κωνσταντινουπόλεως.**

Εἶχε προγραφὴν «Ἰσιδωρος ἐλέῳ Θεοῦ Ἀρχιεπισκοπος Κωνσταντινούπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.»

Εἴ περ τι τῶν ἀπαραιτήτων τοῖς προστατεῖν λαχοῦσι τοῦ Ἐκκλησιαστικοῦ πληρώματος ἐποφείλεται ἄρα καὶ τὸ πάντα ζητεῖν τε καὶ πραγματεύεσθαι ὅσα περ οἶδε τοῖς ὑπ᾿αὐτοὺς τελοῦσιν ἕνωσιν καὶ κοινωνίαν περιποιεῖν. Ἐντεῦθεν γὰρ καὶ ψυχαῖς καὶ σώμασι τὸ ὠφέλιμον περιγίνεσθαι πέφυκεν. Ἔστι μὲν οὖν ὁ τῆς ἀγάπης ὅρος, ᾗ συνδεῖσθαι πάντες οἱ φρενῶν εὖ ἥκοντες ἡδέως νομίζουσι δεῖν, καὶ δι᾿ ἣν τὰ ἑαυτῶν κοινὰ ἡγεῖσθαι ἀξιοῦσιν εἶναι τῶν προσηκόντων πρὸς τὸν ταύτης αἴτιον θεόν, ἅπερ μεταχειρίζουσιν, ὡς χρεὼν ἀναφέροντες, καὶ ἄλλως τοῖς καθ᾿ ἡμᾶς τούτοις ἐνθεωρούμενος πράγμασιν, οἱασδήτινος μοίρας ὄντων ἀνθρώπων τὸ κοινωνικὸν ἀλλήλοις ἐνδεικνυομένων καὶ τὸ ἀπὸ ταύτης κέρδος ἐγνωκότων πείρᾳ, οὐχ ἥκιστα δὲ ἔχοι τις ἂν ἐπιγινώσκειν τὸ ἐντεῦθεν καλὸν καὶ συστάσεως πρόξενον ἀπὸ τῶν τὴν ὑπερκόσμιον πολιτείαν ἐπανῃρημένων καὶ κατὰ θεὸν προελομένων βιοῦν, καὶ οὕτω τοι βιαζομένων τὰ ἄνω κτήσασθαι καὶ ὑπὲρ ἡμᾶς. Οὐ μὴν δ᾿ἀλλὰ καὶ μέρος οὐκ ἐλάχιστον πρὸς λόγον πνευματικῆς εὐφροσύνης συντείνει τε καὶ συμβάλλεται τοῖς ἐπειλημμένοις τῶν οἰάκων τῆς Ἐκκλησίας. Τὸ δὲ μέγιστον τῆς ἀγάπης καὶ σωτήριον χρῆμα ἑκασταχοῦ τοῖς πᾶσιν ἐμπολιτευόμενον, ὡς κεφάλαιον Νόμου καὶ Προφητῶν, ὑπὲρ οὗ δεῖν κρίνουσιν οὗτοι πᾶσαν εἰσφέρειν σπουδήν τε καὶ ἐπιμέλειαν. Εἰ γὰρ κατὰ τὸν θεοπάτορα καὶ μέγαν ἐν Προφήταις Δαυΐδ «οὐδέν τι καλὸν οὐδὲ τερπνόν, ἀλλ᾿ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό», τό γε περιφανεῖς δύο Σεβασμίας Μονὰς εἰλικρινίᾳ πόθου πνευματικοῦ εἰς ταὐτὸ συνελθεῖν κἀπὶ τοσοῦτον ἀλλήλων ἠρτῆσθαι, ὡς καὶ σῶμα ἓν ταύτας γνωρίζεσθαι, καθάπερ τὰ κατά τινα φυσικὴν συμπάθειαν ἀλλήλων ἐχόμενα καὶ τομὴν μὴ καταδεχόμενα, πῶς οὐκ ἂν εἰς μείζω φαιδρότητα καὶ τέρψιν διαβαίνοι αὐτοῖς τε τούτοις τοῖς τὰ πνευματικὰ διοικονομεῖσθαι τῶν ἄλλων προτεταγμένοις καὶ εἰς πλείονα τὴν σύναρσιν καὶ ὠφέλειαν ταῖς οὕτως ἡρμοσμέναις καταλλήλως Σεβασμίαις Μοναῖς; Τῷ λόγῳ τῷδε σκοπὸς ὡς ἡ ἐν τῇ κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν Σεβασμία Μονή, ἡ εἰς ὄνομα τιμωμένη τῆς Ὑπεράγνου Δεσποίνης και Θεομήτορος τῆς Ψυχοσωστρίας, τῇ τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἀνωμαλίᾳ εἰς στενότητα κομιδῇ καταντήσασα κἀντεῦθεν τὰ προσόντα

σχεδὸν ἀποβεβληκυῖα, ὡς μόλις ἔχειν ἀπὸ μικρῶν λειψάνων γνωρίζεσθαι, οἰκονομίᾳ δή τινι θειοτέρᾳ, ἵνα μὴ ἐκ τοῦ σχεδὸν παραπόληται ταῖς τοῦ χρόνου ἐναντίαις ἐπιδρομαῖς, τῇ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω Σεβασμίᾳ Βασιλικῇ Μονῇ, τῇ εἰς ὄνομα τιμωμένῃ τῆς Ὑπεράγνου Δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Βατοπεδίου, εὐθυνούσῃ θεοῦ χάριτι καὶ ἑτέραις ἐπαρκεῖν δυναμένῃ καλῶς καὶ ὡς φίλον θεῷ ἥνωται καὶ ὑπέζευκται, ὥστε δὴ καὶ περσιώζεσθαι καὶ τὸ ἐνδέον ταύτῃ κατὰ καιρὸν ἀναπληροῦσθαι ἐντεῦθεν, κἀκείνην δρέπεσθαι τοὺς τῆς καθηγήσεως καὶ ἐπὶ τὸ κρεῖττον ὁδοποιήσεως καὶ ἀγαθοεργίας ὑπὲρ ταύτης καρπούς. Τοῦτο δὲ καὶ ἀμφοτέραις εὖ μάλα εἰς λυσιτέλειαν ἧκον συνιδὼν ὁ Κράτιστος καὶ Ἅγιός μου Αὐτοκράτωρ, ἅτε τῶν καλῶν ἁπάντων διάπυρος ἐραστὴς καὶ τὸ τῆς γνώμης φιλόθεον καὶ τὸ τοῦ τρόπου εὐλαβὲς εἰς ὅσον ἔξεστιν ἀνθρωπίνῃ φύσει πεπλουτικώς, πρῶτα μὲν ἐπευδοκήσας, σεπτὸν ἀπέλυσε πρόσταγμα ἐπὶ τῷ εἶναι καὶ εὑρίσκεσθαι τὴν τοιαύτην τῆς Ψυχοσωστρίας Μονὴν τεταγμένην ὑπὸ τὴν τοῦ Βατοπεδίου καὶ ὡς ἓν σῶμα ταύτας καταλογίζεσθαι, ἐχούσης μέντοι τὰ πρεσβεῖα καὶ τὸν τῆς ἀρχῆς κλῆρον τῆς τοῦ Βατοπεδίου πολλῶν ἕνεκα τῶν δικαίων, ὥστε καὶ Καθοδηγούμενον ἐκεῖθεν κατ' ἐκλογὴν πέμπεσθαι, εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενον καὶ δυνάμενον ψυχὰς οἰκειοῦν θεῷ εἰς τὸ περισώζεσθαι τὴν ὀφειλομένην τοῖς μοναχοῖς θεοφιλῆ πολιτείαν τε καὶ κατάστασιν, καὶ τὰ προσόντα ταύτῃ συνίστασθαι ἐπὶ τὸ βέλτιον προχωρεῖν καὶ προάγεσθαι, ἐφ' ᾧ καὶ ἡμέτερον γράμμα προέβη. Ἀλλὰ τῷ πρὸς εὐεργεσίας θερμῷ καὶ προχείρῳ αὐτὸς δὴ ὁ Κράτιστος καὶ Ἅγιός μου Αὐτοκράτωρ πάνυ τοι προθυμούμενος ἐπιδαψιλεύεσθαι, καὶ θεῖον χρυσόβουλλον λόγον ἐπιβραβεύει, ὁμοῦ μὲν εὐποιΐας ἱκανὰς θεοκινήτως ἐξ ἑαυτοῦ ἐπιχορηγῶν, ὁμοῦ δὲ καὶ τὰ ἀρχῆθεν προσόντα ταύτῃ τῇ τῆς Ψυχοσωστρίας Μονῇ, ἀλλὰ δὴ καὶ τοῦ Κεγχρίου κατὰ τὸ ἑῷον μέρος τοῦ περὶ τὸν Ἀνάπλουν Στενοῦ διακειμένη καὶ ἡνωμένη εὑρισκομένη τῇ Ψυχοσωστρίας διὰ παλαιγενοῦς χρυσοβούλλου, Μετόχιά τε καὶ κτήματα, ὑποστατικὰ καὶ λοιπὰ πάντα πράγματα ἀκαινοτόμητα καὶ ἐκτὸς τέλους καὶ βάρους διαμένειν κἂν εἰς ὅσην ἄρα προέλθοιεν τὴν ἐπίδοσιν, μετὰ τῶν ἑτέρων δηλονότι, ὧν ὁ Κράτιστος καὶ Ἅγιός μου Αὐτοκράτωρ ἔφθη εὐεργετήσας, ὡς ἀνωτέρω δεδήλωται, ἅτινα δὴ καὶ διείληπται ὀνομαστὶ καὶ κατὰ μέρος ἀναφέρονται τῷδε τῷ σεπτῷ χρυσοβούλλῳ.

Ἔνθεν τοι καὶ ἐπεὶ ἐδέησεν ἤδη τοῖς Μοναχοῖς καὶ ὑπομνήματος τῆς ἡμῶν Μετριότητος ἀσφαλείας χάριν τῆς ἐντεῦθεν, τῇ τούτων δεήσει ἀσμένως αὕτη προσχοῦσα τὸ παρὸν ἀπολύει. Ἀκολούθως τοίνυν πράττουσα τῷ σεπτῷ χρυσοβούλλῳ καὶ ἡ Μετριότης ἡμῶν, ἐν Ἁγίῳ παρακελεύεται πνεύματι καὶ παρεγγυᾷ τὸ στέργειν καὶ ἀπαρεγχείρητον ἔχειν καὶ καθόλου ἀπαράθραυστον καὶ ἀπαραποίητον τὴν θεοφιλῆ ταύτην κατάστασιν καὶ ὡς ἓν σῶμα τὰς δηλωθείσας Σεβ. Μονὰς τήν τε τῆς Ψυχοσωστρίας καὶ τὴν τοῦ Βατοπεδίου εἶναι τε καὶ καταλογίζεσθαι, καθηγου-

μένης καὶ τὰ πρεσβεῖα καὶ τὸν κλῆρον τῆς ἀρχῆς ἐχούσης τῆς τοῦ Βατοπεδίου, καὶ καθηγούμενον ἐκεῖθεν ἐκπέμπεσθαι τῇ τῆς Ψυχοσωστρίας, ὑποκειμένῃ κατὰ τὸν ἀναγεγραμμένον τρόπον, δυνάμενον τῷ ὑποδείγματι τοῦ κατὰ θεὸν αὐτοῦ βίου ψυχῶν καὶ πραγμάτων προΐστασθαι κατὰ πᾶσαν τὴν ἰσχὺν καὶ περίληψιν τοῦ τοιούτου σεπτοῦ χρυσοβούλλου εἶναι καὶ τὰ προσκεκυρωμένα καὶ ἀφιερωμένα ταῖς Μοναῖς ταύταις, τῇ τῆς Ψυχοσωστρίας δηλονότι καὶ τῇ τοῦ Κεγχρίου, διειλημμένα κατ᾽ ὄνομα ἐν αὐτῷ ἀναφαίρετα καὶ ἀναπόσπαστα καὶ παρὰ πάντων ἀνενόχλητα κἂν τῷ ἑξῆς ἀεὶ χρόνῳ, ἐπεὶ θεῷ διὰ τῶν δε τῶν Μονῶν ἀφιέρωνται· καὶ ὀφείλουσι διὰ τοῦτο πᾶσαν ἀεὶ ἐπήρειαν ἀγνοεῖν, ὡς μέγιστον θεόθεν ἀπειλοῦντα κατάκριμα τοῖς ἐπιβαλεῖν χεῖρα πλεονέκτιν αὐτοῖς τολμήσουσι, ὡς γάρ τι θριγγίον, τὰ εἰρημένα μὲν περιφράττον καὶ κατασφαλιζόμενον, ἀποσοβοῦν δὲ καὶ πόρρω βάλλον πᾶσαν δύστροπον καὶ ἐναντίαν ἐπιχείρησιν, καὶ ἡ Μετριότης ἡμῶν τὸ παρ᾽ ἑαυτῆς βαρύτατον ἐπιτίμιον τοῦ ἀφορισμοῦ περιτιθησιν. Ὅθεν καὶ πᾶς τις ὑφορώμενος τὴν ἐντεῦθεν ψυχικὴν καταδικην καὶ τὴν ἀπὸ Θεοῦ παντελῆ ἀλλοτρίωσιν, ὀφείλει ἀπέχειν τῶν τοιούτων παντάπασιν καὶ ἀνέπαφα ταῦτα καὶ πάντη ἀνενόχλητα συντηρεῖν τῇ σφετέρᾳ χειρὶ χάριν ἡστινοῦν ἐπηρείας καὶ συζητήσεως εἰς αἰῶνα τὸν ἅπαντα. Καὶ τῇ διὰ μολύβδου σφραγῖδι συνήθως βεβαιωθέν, ἐπεδόθη ταῖς διαληφθείσαις Σεβασμίαις Μοναῖς ἐπὶ τὸ προσεῖναι εἰς ἀνενοχλησίαν τε καὶ ἀσφάλειαν. Ἀπολυθὲν κατὰ μῆνα Ἰανουάριον τῆς ἐνισταμένης Ἰνδικτιῶνος τρίτης τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ὀγδόου ἔτους.

† Εἶχε καὶ διὰ τιμίων γραμμάτων τῆς Πατριαρχικῆς καὶ πανιέρου χειρός † Ἰσίδωρος [1]) ἐν ἐλέῳ θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Εἶχε δὲ καὶ μολυβδίνην σφραγῖδα ἀπῃωρημένην δι᾽ ἠερανίου σπαρτίου, ἐν μὲν τῷ ἑνὶ μερει τὴν Θεομήτορα εἰκονιζουσαν μετὰ τοῦ προαιωνίου βρέφους, θατέρῳ δὲ τὰ εἰρημένα διαχαράττουσα ἱερὰ γράμματα.

† Τὸ παρὸν ἴσον, ἀντιβληθὲν καὶ εὑρεθὲν ἐξισάζον τῷ πρωτοτύπῳ αὐτοῦ, ὑπεγράφη.

Ὁ Μελενικου Μητροφάνης.

Τὰ πρωτότυπα τῶν ἀνωτέρω γραμμάτων ἐκρατήθησαν ἐν τῇ Μονῇ τῆς Ψυχοσωστρίας, ὡς ἐκεῖ χρησιμεύοντα, εἰς δὲ τὴν Ἱερὰν Μονὴν τοῦ Βατοπεδίου ἀπεστάλησαν τὰ ἀντίγραφα τῶν πρωτοτύπων ἐν εἰλητaρίῳ. Ἐπελθούσης τῆς Τουρκικῆς κατακήσεως, ἡ ἐν Κωνσταντινουπόλει μονὴ τῆς Ψυχοσωστριας διελύθη, τῶν δ᾽ ἀνωτέρω γραμμάτων μόνον ἀντίγραφα περιῆλθον εἰς ἡμᾶς, ἡ τύχη τῶν πρωτοτύπων ἀγνοεῖται.

---

1) Τὸ χειρόγραφον ἔχει: Ἠσίδωρος.